Καλλίπολις. 1451-1452. 1453

Γερακὶ Μπαλτόγλη

X. Μεχεμέτης δὲ ὁ βασιλεύς, ὡς ἔαρ ὑπέφαινεν ἤδη, καὶ πάντα αὐτῷ ἐν εὐτρεπεῖ, πληρώσας τριήρεις τριάκοντα καὶ καλῶς ὁπλίσας ὡς ἐς ναυμαχίαν, εἴ γε τούτου δέοι, ὅπου εἴ πού τις ἐναντίωσις εἴη, παρασκευάσας δὲ καὶ ἕτερα πλοῖα συναγωγὰ πλεῖστα, ἀπὸ Καλλιπόλεως ἐξέπεμψεν ἐς Βόσπορον· αὐτὸς δὲ στρατῷ πολλῷ κατὰ γῆν ἐπορεύετο. — Κριτόβουλ. ἱστορία βιβλ. Α΄ σ. 59.

XXII. Ἐν τούτοις δ' ὄντος αὐτοῦ καὶ παρασκευαζομένου, χειμῶνος καὶ τοῦ ἔαρος ὑποφαίνοντος ἤδη, καὶ ἐς αὐτὰς τὰς μὲν ναῦς παρασκευάζων ἐς ἀναγωγὴν ἀπὸ Καλλιπόλεως (ἐνταῦθα γὰρ ἦσαν αὐτῷ ξυνηγμέναι) ἡγεμόνα καὶ στρατηγὸν αὐταῖς Παλτόγλην[1] — σ. 76.

(1) Ἡγεμόνα ... τὸν σατράπην Καλλιπόλεως] Haec in margine supplentur. Παλτόγλης apud Mordtmannum l. l. p. 43 e turcicis scriptoribus, ut videtur, vocatur a baltaogli Suleiman Bej. Apud Chalcocondylam p. 398, 4 editur Πανδόγλης; ibid. p. 519 Παλτόγλης Καλλιπόλεως ὕπαρχος; ap. Leonardum Chiens p. 333 a Balthoglus; Πάλτα apud Ducam p. 270.5 ubi: Ἦν δὲ ὁ ἄνθρωπος τὸ γένος ἐκ τῶν Βουλγάρων ἔλκων, τινὸς τῶν ἀρχόντων Βουλγαρίας υἱὸς, Πάλτα ἐπονομαζόμενος. Ἐδουλώθη ἐν προ καιρῷ, καὶ ἠλλάξατο τὸ πάτριον σέβας καὶ ἦν δοῦλος πατρικὸς τῷ Μεχμέτ. Ab hoc viro

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

395

# Καλλίπολις 1452-1453

locum Bosporicum Balta limanı dici putat Hammerus I. I. 1. p. 528. in hoc enim sinu, qui a Rumeli Hissari est boream versus, hieme anni 1452 naves a Paltaogle structas esse dicit, nullo rem firmans testimonio.

Βιβλίον Β΄ IV. Ἰουνούζης δὲ πληρώσας ὀκτὼ καὶ δέκα ναῦς τριακοντορίδας καὶ
σ. 108 ὁπλίσας καλῶς, καὶ ἑτέρας ... οὐκ ὀλίγας καὶ φερού-
1454- σας τὰς μηχανάς, ἀναχθεὶς ἀπὸ Καλλιουπόλεως ἔπλει διὰ
1456 τοῦ Ἑλλησποντιακοῦ πορθμοῦ ... καὶ
παραμείψας Σηστόν τε καὶ Ἄβυδον καὶ τὰς καλουμένας
Κυνὸς κεφαλὰς γίνεται κατὰ τὴν Δαρδανίαν ἄκρας τῷ
στόματι τοῦ πορθμοῦ.

σ. 151 Ἔτος δέκατον τέταρτον βασιλείας Μωάμεθ [illegible].
1463-1464.
Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ Ἰαγούπης ὁ σατράπης Καλλιουπό-
λεως τὰ ἐν Ἑλλησπόντῳ φρούρια ἐξετείχισε καὶ φρουρὰν
ἐγκατέστησε ἱκανοῖς καὶ ὅπλα εἰσήνεγκε ὅπλα καὶ μηχανὰς
ἔστησε πετροβόλους καὶ ἀφετήρια, δι' ὧν ἔμελλε τὸν ἔσπλουν
ἄρ καὶ ἔκπλουν κωλύειν τῶν ἀναπλεόντων ἢ καταπλεόν-
των σκαφῶν, ὅτε καὶ τὸν βούλοιτο τά τε ἄλλα ποιοίη κατὰ

Κριτόβουλος. 1463-1464

Φρούρια Ελλησπόντου

των τε βασιλέως υπήρχεν. και απεδείχθη έργον μέγα σ. 151
και πάντων εξῃρημένον και λόγου πολλού και θαύματος ά-
ξιον, όπερ ούτε των παλαιών Ελλήνων τις, ούτε των πά-
λαι μεγάλων βασιλέων και στρατηγών Ρωμαίων τε φη-
μι και Περσών επί νουν εβάλλετο ποτέ, ούτε εδυνήθη βα-
λων, διακλείσαί τε την άνω θάλασσαν της κάτω θα-
λάσσης και τελέως απείρξαι και το άβατόν τε και άπλωτον
καταστήσαι τοις αναπλείν ή καταπλείν βουλομένοις πάσι,
πλην οίς βούλοιτο, ώσπερ είρηται εκατέρωθεν τα φρούρια
ποιήσας, και μηχανάς επιστήσας υπερμεγέθεις, αι των φρου-
ρίων αναπεπτώνται και τριήρεις και ολκάδες αι μέγι-
σται και άλλο παν και μικρόν και μέγα ακάτιον, ευθύς
δη και μόνον πλησιάσαντα καταδυόμενά τε και απολ-
λύμενα τοις εκ των μηχανών αφιεμένοις παμμε-
γέθεσι λίθοις, ώσπερ τη Σκύλλη γειτνιάζοντα και
Χαρύβδει